# TEZAUR LITURGIC

## 29 SEPTEMBRIE

# PARACLISUL SF.MUCENIȚE CASDOA DIN PERSIA

ATENA,2010


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# 29 ΣΕΠΤΕΜΒΡΙΟΣ
# ΚΑΣΔΟΑ ΜΑΡΤΥΣ
# ΠΑΡΑΚΛΗΣΙΣ

Ὁ Ἱερεὺς ἄρχεται τῆς Παρακλήσεως μὲ τὴν δοξολογικήν ἐκφώνησιν:
*Εὐλογητὸς ὁ Θεός ἡμῶν, πάντοτε, νῦν καὶ ἀεί καὶ εἰς τούς αἰῶνας τῶν αἰώνων.*
Ὁ χορός: *Ἀμήν.*
Ἤ μὴ ὑπάρχοντος Ἱερέως, ἡμεῖς τό:
*Δι᾽ εὐχῶν τῶν Ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστέ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς, Ἀμήν.*

*Ψαλμός ρμβ᾽ (142).*

Καί εὐθύς ψάλλεται τετράκις ἐξ᾽ ὑπαμοιβῆς, μετά τῶν οἰκείων στίχων:
*Θεός Κύριος καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.*
Στίχ. α᾽. *Ἐξομολογεῖσθε τῷ Κυρίῳ ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος Αὐτοῦ.*
Στίχ. β᾽. *Πάντα τὰ ἔθνη ἐκύκλωσάν με καὶ τό ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.*
Στίχ. γ᾽. *Παρά Κυρίου ἐγένετο αὕτη καὶ ἔστι θαυμαστή ἐν ὀφθαλμοῖς ἡμῶν.*

*Εἶτα τὸ τροπάριον.*

*Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.*

Μετὰ τὴν θείαν ἐξανάστασιν Λόγε, ὅτε τὸ Πνεῦμά Σου ἀπέστειλας πᾶσι, τοῖς προσκυνοῦσι τὴν οἰκονομίαν Σου, τότε καὶ νεάνιδες, κατεφρόνησαν πάντων, καὶ Σοὶ ἠκολούθησαν, ὡς Νυμφίῳ καὶ Κτίστῃ, ἐξ ὧν ἡ Μάρτυς τε καὶ βασιλίς, Κασδόα τούτων, ἐξάρχει ταῖς χάρισιν.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Οὐ σιωπήσομέν ποτε Θεοτόκε, τὰς δυναστείας Σου λαλεῖν οἱ ἀνάξιοι, εἰμὴ γὰρ Σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐῤῥύσατο ἐκ τοσούτων κινδύνων; Τίς δὲ διεφύλαξεν, ἕως νῦν ἐλευθέρους; Οὐκ ἀποστῶμεν Δέσποινα ἐκ Σοῦ, Σοὺς γὰρ δούλους σώζεις ἀεί, ἐκ παντοίων δεινῶν.

*Ψαλμός ν' (50).*

Εἶτα, ὁ Κανών.

*Ὠδὴ α΄. Ἦχος πλ. Δ΄. Ὑγρὰν διοδεύσας.*

Σκιρτῶσα Κασδόα ἐν οὐρανῷ, καὶ τῶν τοῦ Ὑψίστου, πληρουμένη μαρμαρυγῶν, φώτισον τὸν νοῦν μου σαῖς πρεσβείαις, καὶ σκοτασμοῦ τῶν παθῶν με ἀπάλλαξον.

Θερμῶς ἱκετεύω σε ὁ οἰκτρός, ταῖς σαῖς ἱκεσίαις, ὦ Κασδόα νύμφη Χριστοῦ, δυσχερῶν τοῦ βίου λύτρωσαί με, καὶ τῶν παθῶν μου τὸν τάραχον κόπασον.

Ἀφθόνως τὴν χάριν παρὰ Θεοῦ, ὡς Μεγαλομάρτυς, εἰληφὼς ὦ Γοβδελαᾶ, πρυτάνευσον ταύτην τοῖς ἐν πίστει, ἐπιτελοῦσι τὴν μνήμην σου Ἅγιε.

*Θεοτοκίον.*

Σὺ εἶ Παρθένε ἄσπιλε τῆς ἐμῆς, ψυχῆς ταλαιπώρου, ἡ ἰσχύς τε καὶ ἡ ἐλπίς, τῆς δ᾽ ἐσκοτισμένης μου καρδίας, Σὺ εἶ τὸ φῶς τὸ ἀνέσπερον Δέσποινα.

*ᾨδὴ γ΄. Σὺ εἶ τὸ στερέωμα.*

Χαίρουσα πανόλβιε, ἐν οὐρανῷ σὺν ταῖς Μάρτυσιν, πάντας ἡμᾶς, φρούρησον εὐχαῖς σου, καὶ παθῶν ἐλευθέρωσον.

Ὕμνον χαριστήριον, ὁ σὸς οἰκέτης προσφέρω σοι, διασωθείς, παθῶν καὶ κινδύνων, ὦ Κασδόα πρεσβείαις σου.

Λαβὼν ὦ πολύαθλε, παρὰ Χριστοῦ χάριν ἄφθονον, ταύτην πιστοῖς, διάδος εὐχαῖς σου, Γοβδελαᾶ πολυΰμνητε.

*Θεοτοκίον.*

Ἔχεις ἐν ἀγκάλαις Σου, τὸν Ποιητὴν πάσης κτίσεως, Τοῦτον· διὸ δυσώπει Παρθένε, ἐκ κινδύνων ῥυσθῆναί με.

*ᾨδὴ δ΄. Εἰσακήκοα Κύριε.*

Τῶν ἁγίων αἱμάτων σου, οἱ κρουνοὶ Κασδόα κατέσβεσαν, τὴν δεινὴν παθῶν μου φλόγωσιν, καὶ εἰς σωτηρίαν με ὡδήγησαν.

Ἐντρυφῶσα πανένδοξε, καὶ ἐνηδομένη θείαις λαμπρότησι, τῶν τιμώντων σε μνημόνευε, καὶ ἐκ νόσων ῥύου ταῖς πρεσβείαις σου.

Ἐπὶ σὲ νῦν κατέφυγον, ὦ Γοβδελαᾶ Μάρτυς πολύαθλε, μὴ παρίδῃς με τὸν ἄθλιον, ἀλλ' εὐχαῖς σου θείαις διαφύλαξον.

*Θεοτοκίον.*

Ῥάβδον θείαν ὁ ἔνδοξος, πάλαι Ἡσαΐας Σε κατωνόμασεν, ἄνθος φέρουσαν τὸν Κύριον, Θεοτόκον Μῆτερ ἀειπάρθενε.

*Ὠδὴ ε΄. Φώτισον ἡμᾶς.*

Θείαις καλλοναῖς, τοῦ Νυμφίου σου ἀοίδιμε, ἐλαμπομένη τῶν ὑμνούντων σε, νῦν τὰς καρδίας, ταῖς εὐχαῖς σου καταφώτισον.

Κύμασι δεινοῖς, τῶν τοῦ βίου περιστάσεων, βυθιζομένους ἡμᾶς καὶ θλίψεσι, Κασδόα Μάρτυς, ταῖς εὐχαῖς σου ἐλευθέρωσον.

Νῦν αἱ δωρεαί, ὡς πηγαὶ πιστοῖς ἰάσεων, ταῖς λιταῖς σου ἐπιχέονται, Γοβδελαᾶ ἐκ Θεοῦ τοῖς προσιοῦσί σε.

*Θεοτοκίον.*

Ἄχραντε ἁγνή, τῆς ψυχῆς μου τ' ἀῤῥωστήματα, καὶ τοῦ σώματός μου ἴασαι, ταῖς μητρικαῖς Σου πρεσβείαις, Κόρη πανάσπιλε.

*Ὠδὴ στ΄. Ἱλάσθητί μοι Σωτήρ.*

Ἐλήλυθε φωταυγής, σεμνὴ Κασδόα ἡ μνήμη σου, φωτίζουσα τοὺς πιστῶς, τιμῶντάς σε ἔνδοξε, καὶ

σκότος διώκουσα, παθῶν ἀνιάτων, καὶ δαιμόνων ταῖς πρεσβείαις σου.

Ὑμνοῦσα σὺ τὸν Θεόν, ἐν οὐρανῷ σὺν ταῖς Μάρτυσιν, μὴ παύσῃ οὖν ἐκτενῶς, πρεσβεύειν ὑπὲρ ἡμῶν, τῶν πίστει τιμώντων σε, καὶ ἐξαιτουμένω, τὴν σὴν χάριν παναοίδιμε.

Οἱ προσιόντες πιστῶς, Γοβδελαᾶ ἀξιάγαστε, ἐν τῷ σεπτῷ σου ναῷ, τὴν ῥῶσιν λαμβάνουσι, καὶ τὴν ἀπολύτρωσιν, πάντων τῶν κινδύνων, καὶ δεινῶν ταῖς ἱκεσίαις σου.

*Θεοτοκίον.*

Ἱλάσθητί μοι Σωτήρ, πολλὰ ἀφρόνως Σοι πταίσαντι, καὶ τῆς μενούσης ἐκεῖ, κολάσεως λύτρωσαι, ἔχων δυσωποῦσάν Σε, Κασδόαν τὴν θείαν, καὶ τὴν ἄχραντον Μητέρα Σου.

Διάσωσον, ἀπὸ κινδύνων τοὺς δούλους σου καλλιμάρτυς, ὅτι σὲ ἐν πειρασμοῖς ἀεὶ προβαλλόμεθα, ὡς ἕτοιμον βοηθὸν ἐν ἀνάγκαις.

Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ᾽ ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

*Κοντάκιον. Ἦχος β΄. Πρεσβεία θερμή.*

Ἀνέτειλεν ἡμῖν, λαμπρὰ ὥσπερ ἥλιος, ἡ μνήμη σου σεμνή, Κασδόα πανεύφημε, νέφη τῶν παθῶν ἀποδιώκουσα, καὶ τὴν ἀχλὺν τῶν νόσων σκεδάζουσα, ταῖς θείαις πρὸς Κύριον πρεσβείαις σου.

Προκείμενον: *Μύρον ἐκκενωθὲν ὄνομά Σου, διὰ τοῦτο νεάνιδες ἠγάπησάν Σε.*

Στ.: *Εἵλκυσάν σε, ὀπίσω σου εἰς ὀσμὴν μύρων σου δραμοῦμεν.*

*Εὐαγγέλιον Μαρτυρικόν.*

Δόξα: *Ταῖς τῆς Ἀθληφόρου...*

Καὶ νῦν: *Ταῖς τῆς Θεοτόκου...*

Προσόμοιον. Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι.

Στ.: *Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός...*

Ὅλην ἀποθέμενοι, βασιλικὴν φαντασίαν, ὀπίσω σου ἔδραμεν, δυὰς τῶν Μαρτύρων τε ἡ πολύαθλος, τῶν πιστῶν καύχημα, καὶ Μαρτύρων δόξα, βασιλέων ἐγκαλλώπισμα, Περσίδος βλαστήματα, δεῦτε οὖν πιστῶς εὐφημήσωμεν, Κασδόαν τὴν πανένδοξον, καὶ Γοβδελαᾶν τὸν ἀοίδιμον, οὗτοι γὰρ νομίμως, ἀθλήσαντες στεῤῥῶς διὰ Χριστόν, ἐν παῤῥησίᾳ πρεσβεύουσιν, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

*Ὠδὴ ζ΄. Παῖδες Ἑβραίων.*

Νυμφίῳ Κασδόα τῷ Ὑψίστῳ, στεφηφόρος ἀεὶ παρισταμένη, ὑπὲρ πάντων ἡμῶν, τῶν σὲ ὑμνολογούντων, διηνεκῶς ἱκέτευε, τοῦ ῥυσθῆναι ἐκ κινδύνων.

Ἄνω χοροῖς τῶν Ἀσωμάτων, τὴν ὑπέρθεον ὑμνολογεῖς Τριάδα, ὑπὲρ πάντων ἡμῶν, πρεσβεύουσα ἀπαύστως, Κασδόα παναοίδιμε, τῶν ἐξ πόθου σε τιμώντων.

Ἵνα Γοβδελαᾶ τιμῶ σε, καὶ δοξάζω σου τὰς θείας ἀριστείας, ἀσθενείας δεινάς, σοὺς δούλους τυραννούσας, ἰάτρευσον καὶ δώρησαι, τὴν κατ᾽ ἄμφω τε ὑγείαν.

*Θεοτοκίον.*

Ἔμμονον ἔχων τὴν κακίαν, καὶ δεδούλωμαι ἀτόποις συνηθείαις, εὐσπλαγχνίᾳ τῇ Σῇ, προστρέχω καὶ κραυγάζω, διάσωσόν με πάναγνε, μητρικαῖς Σου ἱκεσίαις.

*Ὠδὴ η´. Τὸν ἐν ὄρει ἁγίῳ.*

Ῥέει ἄφθονον χάριν ἰαμάτων, ἡ πανσέβαστος καὶ ἱερὰ εἰκών σου, καὶ νοσημάτων σβέννυσι τοὺς ἄνθρακας, καὶ τοὺς φλεγομένους, θλίψεσι παντοίαις, ἐνθέως ἀναψύχει.

Σὲ ὑμνοῦσιν χορεῖαι Ἀσωμάτων, τὸν παντάνακτα καὶ Κύριον τῆς δόξης, μετὰ Γοβδελαᾶ Μάρτυρος, τοῦ θεόφρονος, ὦ Τριὰς Ἁγία, φρούρει ἡμᾶς πάντας, τῷ θείῳ σου ἐλέει.

*Θεοτοκίον.*

Ἐμακρύνθην ἐκ Σοῦ καὶ ἐβδελύχθην, τοῖς κακοῖς μου· διὸ καὶ ἐγεννήθην, μυκτηρισμὸς καὶ χλευασμὸς τοῖς κύκλῳ μου, ἀλλὰ μὴ παρίδῃς, δέομαι Παρθένε, εἰς τέλος τὸν Σὸν δοῦλον.

*Ὠδὴ θ΄. Ἐξέστη ἐπὶ τούτῳ.*

Ὡς νύμφη καὶ ὡς Μάρτυς περικαλλής, καλλοναῖς τῶν σῶν ἄθλων ἐξέλαμψας, ἡλιακῶν, πλέον Ἀθληφόρε μαρμαρυγῶν, καὶ τῶν πιστῶν ἐφώτισας, ἔνδοξε Κασδόα νῦν τὰς ψυχάς, τῶν πόθῳ τὴν ἁγίαν, καὶ ὄντως φωτοφόρον, ἐπιτελούντων σου πανήγυριν.

*Τριαδικόν.*

Θεότης ἑνιαῖα καὶ φοβερά, τρισυπόστατε Κύριε ἄναρχε, μόνε Θεέ, ὕψιστε παντάρχα παμβασιλεῦ, Σὲ λιτανεύει κράτιστε, ἅπασα ἡ κτίσις τὸν πλαστουργόν, καὶ πᾶσαι αἱ χορεῖαι, Ἁγίων σὺν τῷ θείῳ, Γοβδελαᾷ τῷ καρτερόφρονι.

*Θεοτοκίον.*

Ὠδάς Σοι εὐχαρίστους πάντες ἡμεῖς, οἱ οἰκοῦντες Σὸν οἶκον προσφέρομεν, Μῆτερ Θεοῦ, ὅτι διασώζεις πάντας ἡμᾶς, ἐκ πάσης περιστάσεως, τρέφεις τε καὶ θάλπεις καὶ προνοεῖς, ἀλλ’ οὖν δεόμεθά Σου, καὶ θείας Βασιλείας, μετὰ τὸ τέλος καταξίωσον.

*Μεγαλυνάρια.*

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν Σε τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον καὶ μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν Χερουβείμ καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεόν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον Σέ μεγαλύνομεν.

Ἔγειρον ἐκ λάκκου ἁμαρτιῶν, τὴν ψυχήν μου Μάρτυς, ὀλισθήσασαν χαλεπῶς, καὶ πρὸς μετανοίας,

ὁδήγησόν με τρίβους, Κασδόα Ἀθληφόρε, τὸν εὐφημοῦντά σε.

Δόξῃ Ἀθλοφόρε μαρτυρικῇ, παρεστὼς τῷ θρόνῳ, τοῦ παντάνακτος καὶ Θεοῦ, μέμνησο τῶν πίστει, τὴν μνήμην σου τελούντων, Γοβδελαᾶ τρισμάκαρ, Μαρτύρων καύχημα.

Τῆς ψυχῆς ἐδήλουν τὴν καλλονήν, σώματος τὸ κάλλος, παρθενία δέ σου λαμπρά, ἡρμόσθη Νυμφίῳ, τῷ ἀθανάτῳ Μάρτυς, Κασδόα Ἀθληφόρε· ὅθεν τιμῶμέν σε.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι Πάντες μετά τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν εἰς τό σωθῆναι ἡμᾶς.

*Τό Τρισάγιον καὶ τὰ Τροπάρια ταῦτα. Ἦχος πλ. β΄.*

Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς, πάσης γὰρ ἀπολογίας ἀποροῦντες, ταύτην Σοι τὴν ἱκεσίαν, ὡς Δεσπότῃ, οἱ ἁμαρτωλοί προσφέρομεν, ἐλέησον ἡμᾶς.

*Δόξα Πατρί…*

Κύριε ἐλέησον ἡμᾶς, ἐπί Σοὶ γὰρ πεποίθαμεν. Μή ὀργισθῇς ἡμῖν σφόδρα, μηδέ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν. Ἀλλ᾽ ἐπίβλεψον καὶ νῦν ὡς εὔσπλαχνος καὶ λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν. Σὺ γὰρ εἶ Θεός ἡμῶν καὶ ἡμεῖς λαός Σου, πάντες ἔργα χειρῶν Σου καὶ τὸ ὄνομά Σου ἐπικεκλήμεθα.

*Καί νῦν…*

Τῆς εὐσπλαγχνίας τὴν πύλην ἄνοιξον ἡμῖν, εὐλογημένη Θεοτόκε, ἐλπίζοντες εἰς Σέ μή

ἀστοχήσομεν, ῥυσθείημεν διά Σοῦ τῶν περιστάσεων, Σὺ γὰρ ἡ σωτηρία τοῦ γένους τῶν Χριστιανῶν.

*Εἶτα ὁ Ἱερεύς, τὴν Ἐκτενῆ Δέησιν, ἡμῶν ψαλλόντων τό λιτανευτικόν· Κύριε ἐλέησον. Ὑπὸ τοῦ Ἱερέως Ἀπόλυσις. Καὶ τῶν Χριστιανῶν ἀσπαζομένων τὴν Εἰκόνα καὶ χριομένων δι’ ἁγίου ἐλαίου, ψάλλονται τὰ παρόντα Τροπάρια: Ἦχος β’. Ὅτε ἐκ τοῦ ξύλου.*

Ὅτε, προμηθείᾳ θεϊκῇ, προγιγνωσκομένη Κασδόα, σαφῶς ἐκέκλησο, τότε παναοίδιμε πάντα κατέλιπες, καὶ τρυφὰ καὶ βασίλεια, καὶ πλοῦτον καὶ δόξαν, καὶ πρὸς τὸν καλοῦντά σε Νυμφίον ἔσπευσας, σὺν Γοβδελαᾷ τῷ γενναίῳ, πάντα ὑπομείνασα Μάρτυς, ἵνα τῆς Αὐτοῦ τύχῃς λαμπρότητος.

Δέσποινα πρόσδεξαι τὰς δεήσεις τῶν δούλων Σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Τὴν πᾶσαν ἐλπίδα μου εἰς Σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην Σου.

*Δι’ εὐχῶν.*

